# ΦΥΤΑ.

Θεοφράστου:
Περὶ Φυτῶν
Ἱστορίας.

Β'. ΙΙ 7 Διαφέρουσι δὲ τόποι τόπων καὶ ἀὴρ ἀέρος. ἐνιαχοῦ γὰρ ἐκφέρειν ἡ χώρα δοκεῖ τὰ ὅμοια καθάπερ καὶ ἡ Φιλίππους.

Γ'. Ι 5. Ὅταν ἔφοδοι γίνωνται ποταμοῦ παρεκβάντος τὸ ῥεῖθρον ἢ καὶ ὅλως ἑτέρωθι ποιησαμένου.
Καθάπερ ὁ Νέστος ἐν τῇ Ἀβδηρίτιδι πολλάκις μεταβαίνει, καὶ ἅμα τῇ μεταβάσει τοσαύτην ὕλην συγγεννᾷ τοῖς τόποις, ὥστε τῷ τρίτῳ ἔτει συνηρεφεῖν.

Γ'. XVIII 7-8 Ἡ δὲ ἕλιξ ἐν μεγίσταις διαφοραῖς· καὶ γὰρ τοῖς φύλλοις πλεῖστον διαφέρει τῇ τε μικρότητι καὶ τῷ γωνοειδῆ καὶ εὐρυθμότερα εἶναι· τὰ δὲ τοῦ κιττοῦ περιφερέστερα καὶ ἁπλᾶ....
Εἴδη δὲ ἔστι πλείω τῆς ἕλικος, ὡς μὲν τὰ προφανέστατα καὶ μέγιστα τρία.
Ἥ τε χλοερὰ καὶ ποιώδης ἥπερ καὶ πλείστη, καὶ ἑτέρα ἡ λευκή, καὶ τρίτη ἡ ποικίλη, ἣν δὴ καλοῦσί τινες Θρᾳκίαν.
Ἑκάστη δὲ τούτων δοκεῖ διαφέρειν· καὶ γὰρ τῆς χλοώδους ἡ μὲν λεπτοτέρα καὶ ταξιφυλλοτέρα καὶ ἔτι πυκνοφυλλοτέρα, ἡ δ' ἧττον πάντα ταῦτ' ἔχουσα.
Καὶ τῆς ποικίλης ἡ μὲν μεῖζον ἡ δ' ἔλαττον τὸ φύλλον καὶ τῇ ποικιλίᾳ διαφέρουσα. ...

Δ'. V 1-2 Ἐν δὲ τοῖς πρὸς ἄρκτον οὐθὲν ὅτι ἄξιον λόγου λέγεται παρὰ τὰ κοινὰ τῶν δένδρων ἃ φιλόψυχρά τε τυγχάνει καὶ ἔστι καὶ παρ' ἡμῖν, οἷον πεύκη, δρῦς, ἐλάτη, πύξος, διοσβάλανος, φιλύρα καὶ τὰ ἄλλα δὲ τὰ τοιαῦτα· σχεδὸν γὰρ οὐθὲν ἕτερον παρὰ ταῦτά ἐστιν, ἀλλὰ τῶν ἄλλων ὑλημάτων ἔνια ἃ τοὺς ψυχροὺς μᾶλλον ζητεῖ τόπους, καθάπερ κενταύριον, ἀψίνθιον, ἔτι δὲ τὰ φαρμακώδη

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

2 91β

ταῖς ῥίζαις καὶ τοῖς ὀποῖς, οἷον ἐλλέβορος, ἐλατήριον, σκαμμωνία, σχεδὸν πάντα τὰ ῥιζοτομούμενα.

Τὰ μὲν γὰρ ἐν τῷ ~~Πό~~ Πόντῳ καὶ τῇ Θρᾴκῃ γίνεται, τὰ δὲ περὶ τὴν Οἴτην καὶ ----

Ἔχουσι δὲ κέδρον δὲ καὶ τὰ Θρᾴκια ὄρη καὶ τὰ Φρύγια.

Βραχὺς δ' ἐστὶ τόπος ὃς ἔχει καὶ ὅλως τὴν ναυπηγήσιμον ὕλην. Τῆς μὲν γὰρ Εὐρώπης δασεῖ τὰ περὶ τὴν Μακεδονίαν καὶ ὅσα τῆς Θρᾴκης καὶ περὶ Ἰταλίαν.

Καὶ γὰρ ἑρπυλλὸς (thyme) ἐστιν ἄγριος ὃν κομίζοντες ἐκ τῶν ὀρῶν φυτεύουσι ἐν Σικυῶνι καὶ Ἀθήνησιν ἐκ τοῦ Ὑμηττοῦ. Ϛ. II

Παρ' ἄλλοις δὲ ὅλως ὄρη πλήρη καὶ λόφοι, καθάπερ ἐν τῇ Θρᾴκῃ.

Οἷον τῆς ῥαφανίδος (τὴν Κορινθίαν, Κλεωναίαν, Λειοθασίαν) ἀμωραίαν Βοιωτίαν... Ζ'. IV 2

Τὴν δὲ Λειοθασίαν, ἣν ἔνιοι καλοῦσι Θρᾳκίαν, ἰσχυροτάτην πρὸς τοὺς χειμῶνας.

Τὰ γὰρ ἐν τῇ Θρᾴκῃ φυόμενα ῥίζα, καθάπερ τό τε τῆς νάρδου προσεμφερὲς τὴν ὀσμὴν ἔχει καὶ ἕτερα ἄττα μικρὰν τινα μὲν αἴσθησιν τῆς εὐωδίας ἔχει. (ἰδὲ πάρ. 25) Θ'. VII 4

(Ἄλλαι δὲ ῥίζαι) θανατηφόροι, καθάπερ ἡ περὶ τὰ μέταλλα ἐν τοῖς ἔργοις τοῖς ἐν Θρᾴκῃ. Καίει δὲ καὶ ἡδεῖα πάνυ τῇ γεύσει καὶ τὸν θάνατον ὑπνώδη τινα ποιοῦσα ἢ ἐλαφρόν. Θ'. XIII 4

Περὶ δὲ τὴν Θρᾴκην εἶναι μὲν καὶ ἑτέρας οὐκ ὀλίγας, ἰσχυροτάτην δὲ ὡς εἰπεῖν τὴν ἴσχαιμον, ἣν δὴ λέγουσιν οἱ μὲν κατατεθεῖσαν τῆς φλεβὸς οἱ δὲ καὶ σφοδροτέρως διατμηθείσης ἴσχειν καὶ κωλύειν τὴν χύσιν Θ'. XV 3

(ἀκολουθεῖ)

(φυτὶ) 91/γ 3

Θ'. XX 5

Ἡ δ' ἕλκος (this worm) σύμφυτον ἐνίοις ἔθνεσιν· ἔχουσι γὰρ ὡς ἐπὶ πᾶν Αἰγύπτιοι, Ἄραβες, Ἀρμένιοι, Ματαδίδες, Σύροι Κίλικες.

Θρᾶκες δ' οὐκ ἔχουσιν οὐδὲ Φρύγες.

Τῶν δὲ Ἑλλήνων Θηβαῖοί τε οἱ περὶ τὰ γυμνάσια καὶ ὅλη Βοιωτοί· Ἀθηναῖοι δ' οὔ.